ὄλβιος ᾧτινι θεός
μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζήλωι τύχᾱι
ἀφ'νεὸν βιοτὰν διάγειν· οὐ
γά⌊ρ τις⌋ ἐπιχθονίων
__π⌊άντ⌋α γ' εὐδαίμων ἔφυ.
καί τοί π]οτ' ἐρειψιπύλαν
παῖδ' ἀνίκ]ατον λέγουσιν
δῦναι Διὸς] ἀργικεραύ-
col 12 (8) νου δώματα Φερσεφόνας τανισφύρου,
καρχαρόδοντα κύν' ἄ-
ξοντ' ἐς φάος ἐξ Ἀΐδα,
υἱὸν ἀπ'λάτοι' Ἐχίδ'νας·
ἔνθα δυστάνων βροτῶν
ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέθ'ροις,
οἷά τε φύλλ' ἄνεμος
Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ.
ταῖσιν δὲ μετέπ'ρεπεν εἴδω-
λον θρασυμέμνονος ἐγ-
__χεσπάλου Πορθανίδα·
τὸν δ' ὡς ἴδεν Ἀλκμή⟨ν⟩ιος θαυμαστὸς ἥρως
τεύχεσι λαμπόμενον,
νευρὰν ἐπέβασε λιγυκ'λαγγῆ κορώνας,
χαλκεόκ'ρανον δ' ἔπειτ' ἐξ